*Δελφῶν κατ' αἶαν, ἔνθα Λοξίᾳ δίκην*
*δίδωσι μανίας, ᾗ ποτ' ἐς Πυθὼ μολὼν*
*ᾔτησε Φοῖβον πατρὸς οὗ 'κτίνειν δίκην,*
*εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος*
*θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.*

ΘΕΡΑΠΑΙΝΑ.

*δέσποιν', ἐγώ τοι τοὔνομ' οὐ φεύγω τόδε*
*καλεῖν σ', ἐπείπερ καὶ κατ' οἶκον ἠξίουν*
*τὸν σόν, τὸ Τροίας ἡνίκ' ᾠκοῦμεν πέδον,*
*εὔνους δὲ καὶ σοὶ ζῶντί τ' ᾖ τῷ σῷ πόσει·*
*καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,*
*φόβῳ μέν, εἴ τις δεσποτῶν αἰσθήσεται,*
*οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται*
*Μενέλαος ἐς σὲ παῖς δ', ἅ σοι φυλακτέα.*

*ΑΝ.* *ὦ φιλτάτη σύνδουλε· σύνδουλος γὰρ εἶ*
*τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ·*
*τί δρῶσι; ποίας μηχανὰς πλέκουσιν αὖ,*
*[κτεῖναι θέλοντες τὴν παναθλίαν ἐμέ;]*

*ΘΕΡ.* *τὸν παῖδά σου μέλλουσιν, ὦ δύστηνε σύ,*
*κτενεῖν, ὃν ἔξω δωμάτων ὑπεξέθου.*

*ΑΝ.* *οἴμοι· πέπυσται τὸν ἐμὸν ἔκθετον γόνον;*
*πόθεν ποτ'; ὦ δύστηνος, ὡς ἀπωλόμην.*

*ΘΕΡ.* *οὐκ οἶδ', ἐκείνων δ' ᾐσθόμην ἐγὼ τάδε·*
*φροῦδος δ' ἐπ' αὐτὸν Μενέλεως δόμων ἄπο.*

*ΑΝ.* *ἀπωλόμην ἄρ'. ὦ τέκνον, κτενοῦσί σε*
*δισσοὶ λαβόντες γῦπες· ὁ δὲ κεκλημένος*

---

52 *ᾗ*] Reiske, *ἣν* libri (*ἢν A*) | *ποτ' EL*, *τότ' AP* et mut. in *ποτ' B* 53 *οὗ 'κτίνειν*] Hermann (*τίνειν* Barnes), *οὗ κτείνει ABaL*, *οὗ τίνει EP* et schol., *οὗ 'κτίνει* $a^3$ (et *d*) 54 *πρόσθεν LP* 56 personae nota erasa in *A* 57 *σ'* om. *L* 58 *τὸ σὸν* mut. in *τὸν σὸν E*, schol. *γράφεται τὸ σὸν* 59 *δ' ἀεὶ σοὶ* Hartung, *δ' ἐκεῖ σοὶ* Badham | *ἦν* libri 60 *φέρουσαν B* corr. *b* 62 *βούλεται BP* 63 *παῖδα B* 65 *τῇδε* om. *L*, add. *l* | *δὲ* om. *P* 66 *πλέκουσιν αὖ* scripto *δὴ* super *αὖ E*, *πλέκουσιν* (*αὖ* om.) *L*, *πλέκουσι νῦν P* 67 delevit Cobet 69 *κτενεῖν*] scripsi, *κτείνειν* libri 70 personae notam in ras. scr. *L* | *πέπυσθον* Nauck, mavult versum 73 versui 69 subiungere Radermacher 71 *ἀπολλόμην B*, *ἀπωλόμαν P* (super *αν* ras.) 73 *αὐτὸ D* (et Dindorf) | *μενέλαος BE* 74 *ἀπωλλόμην B* | *ἄρ' BE* 75 *γύπες BE* | *κεκτημένος* Herwerden